ἐφ' ἡδονὴν ἄλογον καθάπερ νῦν εἶναι δοκεῖ χρήσιμος, ἀλλ'
ἐπὶ τὴν γεγονυῖαν ἐν ἡμῖν ἀνάρμοστον ψυχῆς περίοδον εἰς
κατακόσμησιν καὶ συμφωνίαν ἑαυτῇ σύμμαχος ὑπὸ Μουσῶν
δέδοται· καὶ ῥυθμὸς αὖ διὰ τὴν ἄμετρον ἐν ἡμῖν καὶ χαρίτων
e ἐπιδεᾶ γιγνομένην ἐν τοῖς πλείστοις ἕξιν ἐπίκουρος ἐπὶ
ταὐτὰ ὑπὸ τῶν αὐτῶν ἐδόθη.

Τὰ μὲν οὖν παρεληλυθότα τῶν εἰρημένων πλὴν βραχέων
ἐπιδέδεικται τὰ διὰ νοῦ δεδημιουργημένα· δεῖ δὲ καὶ τὰ δι'
ἀνάγκης γιγνόμενα τῷ λόγῳ παραθέσθαι. μεμειγμένη γὰρ
48 οὖν ἡ τοῦδε τοῦ κόσμου γένεσις ἐξ ἀνάγκης τε καὶ νοῦ
συστάσεως ἐγεννήθη· νοῦ δὲ ἀνάγκης ἄρχοντος τῷ πείθειν
αὐτὴν τῶν γιγνομένων τὰ πλεῖστα ἐπὶ τὸ βέλτιστον ἄγειν,
ταύτῃ κατὰ ταῦτά τε δι' ἀνάγκης ἡττωμένης ὑπὸ πειθοῦς
ἔμφρονος οὕτω κατ' ἀρχὰς συνίστατο τόδε τὸ πᾶν. εἴ τις
οὖν ᾗ γέγονεν κατὰ ταῦτα ὄντως ἐρεῖ, μεικτέον καὶ τὸ τῆς
πλανωμένης εἶδος αἰτίας, ᾗ φέρειν πέφυκεν· ὧδε οὖν πάλιν
b ἀναχωρητέον, καὶ λαβοῦσιν αὐτῶν τούτων προσήκουσαν
ἑτέραν ἀρχὴν αὖθις αὖ, καθάπερ περὶ τῶν τότε νῦν οὕτω
περὶ τούτων πάλιν ἀρκτέον ἀπ' ἀρχῆς. τὴν δὴ πρὸ τῆς οὐ-
ρανοῦ γενέσεως πυρὸς ὕδατός τε καὶ ἀέρος καὶ γῆς φύσιν
θεατέον αὐτὴν καὶ τὰ πρὸ τούτου πάθη· νῦν γὰρ οὐδείς πω
γένεσιν αὐτῶν μεμήνυκεν, ἀλλ' ὡς εἰδόσιν πῦρ ὅτι ποτέ
ἐστιν καὶ ἕκαστον αὐτῶν λέγομεν ἀρχὰς αὐτὰ τιθέμενοι
στοιχεῖα τοῦ παντός, προσῆκον αὐτοῖς οὐδ' ἂν ὡς ἐν συλλα-
c βῆς εἴδεσιν μόνον εἰκότως ὑπὸ τοῦ καὶ βραχὺ φρονοῦντος
ἀπεικασθῆναι. νῦν δὲ οὖν τό γε παρ' ἡμῶν ὧδε ἐχέτω· τὴν
μὲν περὶ ἁπάντων εἴτε ἀρχὴν εἴτε ἀρχὰς εἴτε ὅπῃ δοκεῖ
τούτων πέρι τὸ νῦν οὐ ῥητέον, δι' ἄλλο μὲν οὐδέν, διὰ δὲ τὸ
χαλεπὸν εἶναι κατὰ τὸν παρόντα τρόπον τῆς διεξόδου δηλῶ-
σαι τὰ δοκοῦντα, μήτ' οὖν ὑμεῖς οἴεσθε δεῖν ἐμὲ λέγειν, οὔτ'
αὐτὸς αὖ πείθειν ἐμαυτὸν εἴην ἂν δυνατὸς ὡς ὀρθῶς ἐγχει-

a 2 ἐγεννήθη A F: ἐγενήθη Y et fecit $A^2$ b 8 οὐδ' ἂν ὡς Hermann: οὐδαμῶς A: οὐδ' ὡς F Y Stob.





za nerazuman užitak, kako se to sada smatra njegovom namje-
nom, dale kao pomagača u borbi za sređivanje tih kretanja duše i
njezino suglasje sa sobom. A u istu svrhu dale su i ritam[96] kao sa-
veznika, zbog toga što je u većine ćud u nama postala neumjerena e
te lišena i potrebita milja.

Sve do sada kazano, osim neznatnog, prikazivalo je ono što
je proizveo um. No govoru treba pridodati i ono što postaje iz
nužnosti. Jer postanak ovog tu svijeta rodio se zapravo pomije-
šan iz sustava nužnosti[97] i uma. A kad je um ovladao nužnošću, 48
time što ju je uvjerio da većinu postajućega povede k onom naj-
boljem, tako je, na taj način što je nužnost popustila razumnom
uvjeravanju, u početku bio usustavljen ovaj tu svemir. Ako će da-
kle netko doista govoriti baš onako kako je postao, morat će pri-
miješati i vrstu lutajućeg uzroka, kako mu je po naravi dano po-
kretati[98]. Dakle, trebamo se tako vratiti te, čim dohvatimo njihov
drugi početak koji je u skladu s tim, smjesta opet, kao što smo b
o onome tada, tako i sada o ovome ponovno početi od počet-
ka. Treba prije postanka neba razmotriti samu narav vatre, vode,
zraka i zemlje, te zbivanja[99] prije toga. No, dosad nije još nitko
nikad objasnio njihov postanak, već, kao da znamo što je zapra-
vo vatra i svako od tih, govorimo da su to počela, postavljajući
ih kao sastojine svega, premda im ne pristoji da, čak ni od ono-
ga tko je jedva malo razuman, budu ma i samo vjerojatno uspo- c
ređena s likovima slogova.[100] Neka dakle to sad s naše strane stoji
ovako: sada ne treba govoriti o počelu svega, ili počelima, ili kako
god da se o tome misli, ni zbog čega drugog do zato jer je ovim
sadašnjim načinom razlaganja teško očitovati nazor o tomu.[101]
Dakle, nemojte smatrati da trebam to kazivati, a niti da sam sa
svoje strane uvjeren da bih bio sposoban na pravi način se latiti